1. Ὁ στρατηγὸς ἐκέλευε τοὺς στρατιώτας μὴ φείδεσθαι τῶν πολεμίων. 2. Ἀριστοτέλης ὁ φιλόσοφος γράφει τὴν μίμησιν πάσης τέχνης ἀρχήν· πάντα γὰρ ἐκ τῆς φύσεως εἶναι. 3. Ἀριστοτέλης τῆς παιδείας τὰς μὲν ῥίζας πικρὰς εἶναι λέγει, τοὺς δὲ καρποὺς γλυκεῖς. 4. Ὅμηρος Ἀχιλλέα θάττω τῶν ἡρώων ἁπάντων εἶναι λέγει. 5. Ὁ Πλάτων λέγει τὴν τραγῳδίαν τῆσδε τῆς πόλεως εἶναι εὕρημα. 6. Λέγουσι τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. 7. Δῆλόν ἐστι τοὺς προδότας ὑπὸ τῶν στρατιωτῶν ἐχθαίρεσθαι. 8. Λέγομεν τοὺς μαθητὰς ὑπὸ τῶν διδασκάλων παιδεύεσθαι. 9. Λέγουσι τοὺς Ἑλληνικοὺς θεοὺς ἄλυπον καὶ ἥσυχον βίον ἄγειν. 10. Οἱ παλαιοὶ ἐνόμιζον τὰς τῶν μακάρων νήσους, ἐν αἷς αἱ τῶν νεκρῶν ψυχαὶ διῆγον, περὶ τὸν Ὠκεανὸν εἶναι. 11. Χαίρομέν σε ἡμέτερον φίλον ὄντα. 12. Οἱ πολῖται ἥδονται τὴν πατρίδα ἀκμάζουσαν.

**2.** Переведите на греческий язык.

1. Граждане, знайте, что наши воины храбры! 2. Ясно, что согласие граждан является украшением государства. 3. Следует, чтобы молодые

уважали стариков. 4. Демосфен говорил, что законы – это душа города. 5. Должно, чтобы страной управляли достойные люди.

## ЗАНЯТИЕ 33
## Aoristus I indicatīvi actīvi, infinitīvus aoristi I actīvi, imperatīvus aoristi I actīvi, participium aoristi I actīvi

**1.** Образуйте форму *1 sg. aoristus I indicatīvi actīvi* от глаголов: ἀνύω *совершать*, τιμάω *почитать*, πλέκω *плести*, κοσμέω *украшать*, βλέπω *смотреть*, κρύπτω *скрывать*, τρέπω *поворачивать*, ἀποτρέπω *отвращать*, τρέφω *кормить*, ἀνατρέφω *вскармливать*, θαυμάζω *удивлять*, πείθω *убеждать*, πράττω *делать*, τάττω *строить*, τρίβω *тереть*, ἐλέγχω *изобличать*.

**2.** Проспрягайте в *aoristus I indicatīvi actīvi* первые три глагола 1-го упражнения.

**3.** Определите словарную форму глаголов по *1 sg. aoristus I indicatīvi actīvi*: ἐθήρασα, εἴασα, ἐνίκησα, ἐκόσμησα, ἐδήλωσα, ἤμειψα, ἔβλεψα, ἔγραψα, ἔλεξα, ἐδίωξα, ἦρξα, ἔψευσα, ἔπεισα, ἤνυσα, ἐγύμνασα, ἔσπεισα.

**4.** Переведите на русский язык.

1. Οἰδίπους λύσας τὸ τῆς Σφιγγὸς αἴνιγμα ἐβασίλευσεν ἐν ταῖς Θήβαις. 2. Ζεὺς τὸν Ἑρμῆν ἔπεμψε πρὸς τὴν Καλυψὼ ἀποπέμψαι ’Οδυσσέα εἰς τὴν ’Ιθάκην. 3. Πρὸ τῆς μάχης οἱ Ἕλληνες Διὶ ἔσπεισαν. 4. Τὴν ’Αττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα νῆες ἐφύλαξαν ἑκατόν. 5. Φειδίας ἔπλασε τὸν τῆς ’Αθηνᾶς ἀνδριάντα ἐκ χρυσοῦ καὶ ἐλέφαντος. 6. Οἱ ’Αθηναῖοι ἐνίοτε ἐν τῇ αὐτῇ ἡμέρᾳ δὶς καὶ τρὶς ἐνίκησαν τοὺς πολεμίους καὶ ἐδίωξαν αὐτοὺς μέχρι τοῦ στρατοπέδου αὐτῶν. 7. Κῦρος, ὀργιζόμενος τῷ ἀδελφῷ καὶ βουλόμενος αὐτὸν τῆς ἀρχῆς ἀποστερῆσαι, συνέλεξε πολλὴν στρατιὰν τῶν τε βαρβάρων καὶ τῶν Ἑλλήνων, οἷς ἐπίστευε μᾶλλον ἢ τοῖς Πέρσαις. 8. Θαυμάζω, τίσι λόγοις ὁ κατήγορος τοῦ φιλοσόφου ἐνίκησεν ἐν τῷ δικαστηρίῳ. 9. Σωκράτης ἐνόμισε μᾶλλον ἑαυτῷ πρέπειν τὰ τῶν θεῶν πράττειν ἢ τὰ τῶν ἀνθρώπων ὥστε τοῖς ἀνθρώποις ἀρέσκειν. 10. Καὶ Τισσαφέρνης τοὺς μὲν κατέσφαξεν, τοὺς δὲ ἐφυγάδευσεν. 11. Θουκυδίδης συνέγραψε τὸν τῶν ’Αθηναίων καὶ Λακεδαιμονίων πόλεμον. 12. Μιλτιάδης νικήσας τοὺς βαρβάρους στέφανον ᾔτησε παρὰ τοῦ δήμου.

**5.** Переведите на греческий язык.

1. После битвы воины с большими почестями похоронили мертвых. 2. Афиняне освободили свою родину. 3. Брат прислал мне много прекрасных даров. 4. Фрасибул, победив тиранов, освободил отечество. 5. Враги нарушили мир.

## ЗАНЯТИЕ 34
## Aoristus I indicatīvi medii, infinitīvus aoristi I medii, imperatīvus aoristi I medii, participium aoristi I medii

**1.** Проспрягайте в *aoristus I indicatīvi medii* глаголы: πράττω *делать*, τρέφω *питать*, κοσμέω *украшать*.

**2.** Переведите на русский язык.

1. Κῦρος τοὺς Πέρσας ἐλευθερῶσας καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο καὶ τῆς ἄλλης ’Ασίας μέχρι τῆς Αἰγύπτου ἐκράτησεν. 2. Δαρεῖος πᾶσαν τὴν ’Ασίαν ὑφ’ ἑαυτοῦ ποιησάμενος ἐβούλετο καὶ Εὐρώπην δουλοῦσθαι. 3. Φίλους κτῆσαι καὶ μὴ χρήματα. 4. Κῦρος ὁ ἀρχαῖος τοὺς Πέρσας ἠλευθέρωσε καὶ τοὺς Μήδους κατεστρέψατο, καὶ τῆς λοιπῆς ’Ασίας ἐκράτησε. Κῦρος δ’ ὁ νεώτερος πρὸς τὸν ἑαυτοῦ ἀδελφὸν ἐστρατεύσατο. 5. Λεωνίδας καὶ οἱ ἑαυτοῦ στρατιῶται ἐν ταῖς Θερμοπύλαις λουσάμενοι καὶ στεφανωσάμενοι ἤρξαντο τῆς μάχης. 6. Κροῖσος Σόλωνα τὸν ’Αθηναῖον καλῶς ἐδέξατο. 7. Σόλων ἐθαύμασε μὲν τὴν τοῦ Κροίσου δύναμιν, οὐ δ’ ἡγήσατο τὸν Κροῖσον εὐτυχῆ. 8. Οἱ ποιηταὶ ἔλεγον ῞Ομηρον παιδεῦσαι τὴν ῾Ελλάδα. 9. Βούλευσαι πρὸ τοῦ ἔργου.

**3.** Переведите на греческий язык.

1. Пирр выступил в поход против римлян. 2. Крез приобрел большое богатство. 3. Афиняне постановили отправиться в поход на Филиппа.

## ЗАНЯТИЕ 35
## Futūrum I indicatīvi actīvi, infinitīvus futūri I actīvi, participium futūri I actīvi

**1.** Образуйте *1 sg. futūrum I indicatīvi actīvi* от глаголов: δράω *действовать*, τιμάω *почитать*, ποιέω *делать*, στεφανόω *увенчивать*, τρίβω *тереть*, στρέφω *поворачивать*, ἐλέγχω *изобличать*, πλέκω *плести*, πέρθω *разрушать*, κομίζω *заботиться*, θαυμάζω *удивлять*.

**2.** Проспрягайте в *futūrum I indicatīvi actīvi* первые три глагола 1-го упражнения.

**3.** Переведите на русский язык.

1. Τίς ποτε τὰ ἄστρα ἀριθμήσει; 2. Νῦν μὲν ἀναγιγνώσκομεν, ὕστερον δὲ γράψομεν. 3. ’Αγαθοὶ πολῖται τὴν πόλιν μᾶλλον σώσουσιν, ἢ ἰσχυρὰ τείχη. 4. Πῶς σε πείσω; 5. Τί πρὸς ταῦτα λέξεις. 6. Κῦρος ἀεὶ τῷ ’Αρταξέρξῃ ἔφερε τοὺς γιγνομένους δασμοὺς καὶ ἔλεγε, ὅτι πιστός ἐστιν αὐτῷ καὶ οὔποτε ἐπιβουλεύσει αὐτῷ. 7. ’Αεὶ προσέξομεν τὸν νοῦν τῇ τῶν πολιτῶν ὁμονοίᾳ. 8. ῞Ηξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ’ αὐτῷ. 9. Παροιμία· «Μωρὸς ῥίψει λίθον εἰς θάλατταν, καὶ δέκα σοφοὶ οὐκ ἀνέλξουσιν αὐτόν». 10. Εἰ οἱ πολέμιοι τὴν εἰρήνην λύσουσι, συλλέξομεν τὴν στρατιὰν καὶ στρατεύσομεν ἐπὶ τοὺς πολεμίους. 11. Οὐδεὶς τῶν

ἀνθρώπων πάντα τὸν βίον εὐδαιμονήσει. 12. Ξέρξης ἐστρατεύσατο δουλώσων τὴν Ἑλλάδα.

**4.** Переведите на греческий язык.

1. Мужественное войско обратит врагов в бегство. 2. Мы всегда будем говорить правду. 3. Воины идут в поход, чтобы победить врагов. 4. Смерть избавит человека от несчастий. 5. Мудрый муж будет советовать гражданам не самое приятное, а самое лучшее.

## ЗАНЯТИЕ 36
## Futūrum I indicatīvi medii, infinitīvus futūri I medii, imperatīvus futūri I medii, participium futūri I medii

**1.** Проспрягайте в *futūrum I indicatīvi medii* глаголы: πείθω *убеждать*, λύω *развязывать*, διώκω *преследовать*.

**2.** Переведите на русский язык.

1. Μὴ ἔλπιζε τῷ χρόνῳ κακὸν ἔργον ἀποκρύψεσθαι. 2. Λέξω καὶ οὐκ ἀποκρύψομαι. 3. Πλάτων ἧκεν εἰς Σικελίαν θεασόμενος τοὺς κρατῆρας τοὺς ἐν τῇ Αἴτνῃ. 4. Οὗτοι οἱ ἔμποροι ναῦν κτήσονται, ᾗ εἰς τὴν πατρίδα ἀποπλευσοῦνται. 5. Ὁ σοφὸς ἐπ’ ἀτυχίᾳ ἄλλων ἀνθρώπων οὐ γελάσεται. 6. Οἱ ’Αθηναῖοι θεοπρόπους ἔπεμπον εἰς Δελφοὺς μαντευσομένους. 7. Περὶ μεγάλων πραγμάτων μετὰ τῶν σοφῶν βουλευσόμεθα.

**3.** Переведите на греческий язык.

1. Мы хорошо примем гостя и позаботимся о нем. 2. Хорошие граждане всегда будут слушаться законов. 3. Мы не будем бояться врагов. 4. Ксеркс собрал большое войско, чтобы поработить греков.

## ЗАНЯТИЕ 37
## Aoristus I indicatīvi actīvi et medii, infinitīvus aoristi I actīvi et medii, imperatīvus aoristi I actīvi et medii, participium aoristi I actīvi et medii глаголов на сонорный

**1.** Проспрягайте в *aoristus I indicatīvi actīvi et medii* глаголы: ἀγγέλλω *возвещать*, καθαίρω *очищать*, κλίνω *наклонять*.

**2.** Переведите на русский язык.

1. Κάδμος ὁ ’Αγήνορος διέφθειρε τὸν δράκοντα μέγαν, τοὺς δ’ ὀδόντας ’Αθηνᾶς παραγγειλάσης ἔσπειρεν. 2. Χαλεπόν ἐστι διακρῖναι τὸν κόλακα καὶ τὸν ἀληθῆ φίλον. 3. Ξενοφῶν τοῖς στρατιώταις μεῖναι ἐπὶ τῷ ποταμῷ παρήγγειλεν. 4. ’Αθηνᾶ περιέστειλεν Ἡρακλέα πέπλῳ, ὃν αὐτὴ ὑφήνατο. 5. Ἡ τύχη διένειμεν ἄλλοις ἄλλα δῶρα. 6. Θησεὺς πεμψάμενος ὑπὸ τῶν ’Αθηναίων εἰς Κρήτην

ἀπέκτεινε τὸν Μινώταυρον βοηθησάσης ᾿Αριάδνης. 7. Πηνελόπη τρία ἔτη Λαέρτῃ ἐντάφιον ὑφαίνουσα οὐκ ἐπέρανε τὸ ἔργον, νυκτὸς γὰρ ἔλυε αὐτό. 8. ᾿Ορέστης ἐμίηνε τὰς ἑαυτοῦ χεῖρας τῷ τῆς μητρὸς αἵματι, ἣν ἀπέκτεινε ἐπιτάξαντος ᾿Απόλλωνος. 9. ᾿Αχιλλεὺς πολλοὺς Τρῶας ἀπέκτεινε τιμωρούμενος ὑπὲρ τοῦ φίλου.

**3.** Переведите на греческий язык.

1. Этеокл и Полиник убили друг друга, споря за власть. 2. Персы разрушили многие города Греции. 3. Вестник сообщил гражданам о победе. 4. Неоптолема, осквернившего алтарь Зевса кровью Приама, убили жрецы Аполлона.

## ЗАНЯТИЕ 38
## Futūrum I indicatīvi actīvi et medii, infinitīvus futūri I actīvi et medii, imperatīvus futūri I actīvi et medii, participium futūri I actīvi et medii глаголов на сонорный

**1.** Проспрягайте в *futūrum I indicatīvi actīvi et medii* глаголы: ἀποστέλλω *отправлять*, διαφθείρω *губить*, τείνω *тянуть*.

**2.** Переведите на русский язык.

1. Τισσαφέρνης συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν. 2. ᾿Αποκτενεῖς λιμῷ με. 3. Ἥκω, νίκην ἀγγελῶν. 4. Οὐδέποτε τὴν πατρίδα καταισχυνῶ. 5. Ὁ πόλεμος τὰς πόλεις καὶ τοὺς ἀγροὺς διαφθερεῖ. 6. Λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι, Σπαρτιάτης τις «Καλὸν, – ἔλεξε, – πλείους γὰρ ἀποκτενοῦμεν». 7. Ὁ σπουδαῖος μαθητὴς ἀεὶ καλῶς ἀποκρινεῖται ἐρωτώμενος ὑπὸ τοῦ διδασκάλου. 8. Οἱ ᾿Αθηναῖοι ἐν Μαραθῶνι νικήσαντες ἄγγελον ἔπεμψαν εἰς τὰς ᾿Αθήνας ἀγγελοῦντα τὴν νίκην.

**3.** Переведите на греческий язык.

1. Отважные воины всегда будут оставаться в строю и не испугаются врагов. 2. Все надеялись, что Пифия им ответит. 3. Александр после битвы у Иссы послал к матери Дария гонца, чтобы он сообщил о судьбе Дария.

## ЗАНЯТИЕ 39
## Aoristus II indicatīvi actīvi, infinitīvus aoristi II actīvi, imperatīvus aoristi II actīvi, participium aoristi II actīvi

**1.** Выпишите из словаря и запомните *1 sg. aoristus II indicatīvi actīvi* от глаголов: ἄγω *вести*, λαμβάνω *брать*, λέγω *говорить*, ἔρχομαι *приходить*, φεύγω *бежать*, λείπω *оставлять*, μανθάνω *учить*.

**2.** Переведите на русский язык.

1. Ἡ γλῶττα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν. 2. Λεωνίδας Ξέρξου τὰ ὅπλα ἀπαιτήσαντος εἶπεν· «Ἐλθὼν λαβέ». 3. Ὅτε Ξέρξης ἐκ τῶν Θερμοπυλῶν ἐπὶ τὴν Φωκέων χώραν προῆγεν, οἱ Φωκεῖς τὰς μὲν πόλεις ἁπάσας ἐξέλιπον πανδημεί, πρὸς δὲ τὰς ἐν τῇ Παρνασῷ δυσχωρίας κατέφυγον. 4. Σοφία γάρ ἐστι καὶ μαθεῖν ἃ μὴ νοεῖς. 5. Ξέρξης τοσαῦτα ἔθνη εἰς τὴν Ἑλλάδα ἤγαγεν, ὥστε τὰ ὕδατα ἐπέλιπε πινόμενα. 6. Ὁ Καῖσαρ ῥαδίως νικήσας τοὺς πολεμίους εἶπεν· «Ἦλθον, εἶδον, ἐνίκησα». 7. Τοῦ Φιλίππου ἀποθανόντος Ἀλέξανδρος κατὰ τοὺς πατρίους νόμους παρέλαβε τὴν βασιλείαν. 8. Αἰσχρὸν ἦν Σπαρτιάτῃ τὴν τάξιν ἀπολιπεῖν καὶ ἐξ μάχης φυγεῖν. 9. Περσεὺς ὁ Διὸς καὶ Δανάης παῖς τὴν τῆς Γοργοῦς κεφαλὴν ἀποκόψας εἰς Αἰθίοπας ἦλθε καὶ Ἀνδρομέδην ἐν δεσμοῖς εἶδεν. 10. Νιόβη μετὰ τὸν τῶν παίδων θάνατον τὰς Θήβας ἀπολιποῦσα πρὸς Τάνταλον τὸν πατέρα ἦλθεν εἰς Σίπυλον. 11. Οὗτος ὁ ἄνθρωπος πειρώμενος πλείω ἀγαθὰ κτᾶσθαι ἀπέβαλε καὶ ἃ εἶχεν.

**3.** Переведите на греческий язык.

1. Аристид оставил дочерям не богатство, а славу прекрасных дел. 2. Философ Демонакс убил сам себя, желая избежать старости. 3. При Херонее греки навсегда потеряли свою свободу. 4. После смерти Филиппа власть получил Александр. 5. Парис похитил Елену из Спарты и на кораблях привез ее в Трою. 6. Афиняне изгнали Фемистокла, а он бежал к царю.

**4.** Переведите на русский язык текст.

Ἦλθον, εἶδον, ἐνίκησα

Καῖσαρ ἐπὶ τὸν Φαρνάκην ἐλαύνει καὶ τὴν στρατιὰν ἄρδην ἀνεῖλεν. Καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀγγέλλων εἰς Ῥώμην πρός τινα τῶν φίλων ἔγραψε τρεῖς λέξεις· «Ἦλθον, εἶδον, ἐνίκησα».

## ЗАНЯТИЕ 40
## Aoristus II indicatīvi medii, infinitīvus aoristi II medii, imperatīvus aoristi II medii, participium aoristi II medii

**1.** Проспрягайте в *aoristus II indicatīvi actīvi et medii* глаголы: λαμβάνω *брать*, ἄγω *вести*.

**2.** Образуйте *infinitīvus aoristi* и *participium aoristi* активного и медиального залогов от глаголов: φεύγω *бежать*, λαμβάνω *брать*, ἀποθνήσκω *умирать*, γίγνομαι (только медиальный) *рождаться*, ὁράω *видеть*.

**3.** От глаголов φεύγω *бежать*, ἔρχομαι *приходить*, ἄγω *вести*, γίγνομαι *рождаться* образуйте *3 sg*. и *pl*. презенса, имперфекта и аориста.

**4.** Определите формы и переведите: λείπειν, λιπεῖν, λιπόμενος, λειπόμενος, ἤγαγον, λίπε, λαβέ, ἔλαβε, ἔλθετε, ἤλθετε, εἰπεῖν, λαβέσθαι, ἠγάγομεν, ἐλείπου, ἔλιπον, εἵπομεν.

**5.** Переведите на русский язык.

1. Ἐπεὶ οἱ πρῶτοι Ἕλληνες ἐγένοντο ἐπὶ τοῦ ὄρους καὶ κατεῖδον τὴν θάλατταν, κραυγὴ πολλὴ ἐγένετο. 2. Οἱ Ἕλληνες εἰσηγάγοντο θεοὺς ἐξ ἀλλοτρίων ἐθνῶν. 3. Τῶν Περσῶν ἐγγὺς προσελθόντων Θεμιστοκλῆς ἔπεισε τοὺς Ἀθηναίους ἀπολιπόντας τὸ ἄστυ καταφυγεῖν εἰς τὰς ναῦς, παῖδας δὲ καὶ γυναῖκας ἀγαγέσθαι εἰς τὰς νήσους. 4. Μιλτιάδης μόνος ἐνδόξων Ἀθηναίων κατελίπετο υἱὸν ὅμοιον τῷ πατρὶ ἢ μείζω αὐτοῦ. 5. Οὐ χρὴ ἐπιλαθέσθαι τῶν Ὁμήρου μύθων. 6. Οὐκ ἀνασχέσθαι βουλόμεθα τὴν σὴν ἀδικίαν.

**6.** Переведите на греческий язык.

1. Друзья, воздержитесь от печали! 2. Многие спутники Одиссея не удержались от лотоса, и не хотели поэтому возвращаться домой.

## ЗАНЯТИЕ 41
## Conjunctīvus

**1.** Проспрягайте в *praesens conjunctīvi actīvi et medii-passīvi* глагол λέγω *говорить*.

**2.** Переведите на русский язык.

1. Φεύγωμεν ἀεὶ ἀδικίαν. 2. Ὦ Ἀθηναῖοι, μὴ ἀκούσητε τούτων τῶν ῥητόρων μηδὲ ψηφίσησθε ἀφρόνως. 3. Ἐπεὶ τις ἐθαύμασεν, ὅτι οὕτως ὀλίγον οἶνον οἱ Σπαρτιᾶται ἔπινον, Λεωτυχίδης ὁ δυνάστης «Ὀλίγον, – εἶπε, – πίνομεν, ἵνα μὴ οἱ ἄλλοι ὑπὲρ ἡμῶν βουλεύσωνται, ἀλλ᾽ ἵνα ἡμεῖς ὑπὲρ ἄλλων». 4. Μὴ πιστεύσῃς τοῖς κόλαξιν. 5. Οἱ Ἕλληνες ἐδείμαινον, μὴ οἱ βάρβαροι αὐτοὺς κυκλώσωσιν. 6. Ὅστις ἂν εὖ ποιήσῃ τοὺς κακούς, βλάψει τοὺς ἀγαθούς. 7. Οἵ ἂν τῶν τιμῶν μετέχειν βούλωνται, τούτους καὶ τοὺς κινδύνους χρὴ ὑπομένειν. 8. Διὰ τοῦτο δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν.

**3.** Переведите на греческий язык.

1. Друзья, давайте не будем убегать из сражения, а прекрасно умрем за родину! 2. Давайте сожжем корабли, чтобы Кир не перешел реку. 3. Соблюдайте тишину, чтобы воины услышали слова полководца (praesens и aoristus). 4. Моряки хотели убить Ариона, чтобы отнять его богатство. 5. Пусть никто не смущается несчастьям.

## ЗАНЯТИЕ 42
## Optatīvus

**1.** Определите формы и переведите: ἄγοιο, ἄγετε, ἦγε, ἄγε, ἄγῃ, ἄγει, ἄγοι, ἤγου, ἄγου, ἐπίστευον, πιστεύωμεν, φυλάξωμεν, φυλάξομεν, ἐφυλαξάμην, φυλαξαίμην, φυλάξαιμεν, φυλαττόμενος, φυλαξόμενος, φυλάξεσθαι, φυλάξασθαι, κοσμῆσαι, κοσμήσαι, κόσμησαι, κοσμεῖ, κόσμει, ἐκόσμει, ἵνα μὴ κοσμῇ, κοσμοίην ἂν, μὴ κοσμούντων, κοσμεῖς, κοσμήσεις.

**2.** Проспрягайте глагол: θαυμάζω *удивляться* в форме *aoristus indicatīvi actīvi*, κοσμέω *украшать* в форме *aoristus conjunctīvi actīvi*, τρέπω *поворачивать* в форме *aoristus optatīvi actīvi*.

**3.** Образуйте *3 sg. praesens actīvi* всех четырех наклонений от глагола πιστεύω *верить*.

**4.** Образуйте *3 sg. praesens medii* всех четырех наклонений от глагола ἔρχομαι *приходить*.

**5.** Переведите на русский язык.

1. Ἀποτρέποιτε, ὦ θεοί, τοῦτον τὸν κίνδυνον τῆς ἡμετέρας πατρίδος. 2. Μετὰ ἐκείνην τὴν μάχην οἱ Ἕλληνες ἐθαύμαζον, ὅτι Κῦρος οὐδαμοῦ φαίνοιτο οὐδ᾽ ἄλλος ὑπ᾽ αὐτοῦ πέμποιτο ἄγγελος. 3. Κροῖσος ἠρώτησε τὸν Ἀπόλλωνα, εἰ στρατεύοιτο πρὸς Κῦρον. Ὁ δ᾽ Ἀπόλλων ἀπεκρίνετο, ὅτι Κροῖσος ἰσχυρὰν ἀρχὴν καταλύσοι, εἰ τὸν Ἅλυν ποταμὸν διαβαίνοι. 4. Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ ἐδίκαζον, ὅπως μὴ εἰς τοὺς λέγοντας βλέποιεν, ἀλλ᾽ εἰς τὰ λεγόμενα. 5. Τίσιν ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τοῖς ἀγαθοῖς; 6. Ἀγησίλας συνεβούλευε τῷ Ξενοφῶντι τοὺς παῖδας ἐν Σπάρτῃ τρέφειν λέγων, ὅτι οἱ Σπαρτιᾶται παιδεύσοιεν αὐτοὺς ἄρχειν τε καὶ ἄρχεσθαι. 7. Ἡ πολιτεία εὖ ἂν πράττοι, εἰ οἱ πολῖται παύσαιντο τῆς ἔριδος. 8. Τισσαφέρνης διέβαλλε τὸν Κῦρον πρὸς Ἀρταξέρξην τὸν ἀδελφόν, ὡς ἐπιβουλεύσειε αὐτῷ.

**6.** Переведите на греческий язык.

1. Справедливость могла бы быть названа величайшей добродетелью. 2. О если бы вы всегда верили богам! 3. Кто же будет верить тебе, говорящему такое? 4. Греки отправились в Трою, чтобы вернуть Елену. 5. Умирая, Александр не объявил, кому он оставляет власть.

**7.** Переведите на русский язык текст.

Ξέρξης ἀπελαύνων ἐκ τῆς Ἑλλάδος μετεπέμψατο πλοῖον τῶν Φοινίκων, ἵνα κομίσαιεν αὐτὸν εἰς τὴν Ἀσίαν. Ἐπεὶ δεινὸς χειμὼν ἐν τῇ θαλάττῃ ἐφόβησε Ξέρξην καὶ τοὺς ἀμφ᾽ αὐτόν, ὁ δυνάστης ἠρώτησε τὸν κυβερνήτην τοῦ πλοίου, τίνι τρόπῳ ἂν ἑαυτὸν διασώσειε. Ὁ δὲ κυβερνήτης ἀπεκρίνετο· «Ὦ δέσποτα, οὐκ ἄν σε διασώσαιμι, εἰ μὴ κελεύσειας τοὺς πολλοὺς ἐπιβάτας ἐκβαίνειν τοῦ πλοίου». Εὐθὺς οἱ Πέρσαι ἐξεπήδησαν εἰς τὴν θάλατταν, ἵνα τὸν κύριον σώσειαν. Ἐπεὶ δὲ Ξέρξης σῶος εἰς τὴν Ἀσίαν ἧκεν, ἐποίησε τοιόνδε· τῷ μὲν κυβερνήτῃ ἐδωρήσατο χρυσοῦν στέφανον, ὅτι ἔσωσε τὴν τοῦ κυρίου ψυχήν, τοῦ δ᾽ αὐτοῦ κυβερνήτου κατεδίκασε θανάτον, ὅτι πολλοὺς Πέρσας ἀπέκτεινε.

## ЗАНЯТИЕ 43
## Aoristus I passīvi

**1.** Образуйте *1 sg. aoristus indicatīvi passīvi* от глаголов: ἀμείβω *менять*, φυλάττω *охранять*, ψεύδω *лгать*, ἄγω *вести*, πείθω *убеждать*, νικάω

*побеждать*, βλέπω *смотреть*, κοσμέω *украшать*, στεφανόω *увенчивать*, πράττω *делать*, γυμνάζω *упражнять*, τιμάω *почитать*.

**2.** Проспрягайте в пассивном аористе первые три глагола 1-го упражнения.

**3.** Переведите на русский язык.

1. Ἡ τῶν Λακεδαιμονίων ἡγεμονία ὑπὸ τῶν Θηβαίων κατελύθη. 2. Ἄνευ ὁμονοίας οὐκ ἂν πόλις εὖ πολιτευθείη. 3. Οἱ πολέμιοι ἐφοβήθησαν, μὴ κυκλωθεῖεν. 4. Σόλων ἐρωτηθείς, πῶς ἂν ἡ πόλις εὖ οἰκηθείη· «’Εὰν οἱ μὲν πολῖται, – ἔφη, – τοῖς ἄρχουσι πείθωνται, οἱ δ’ ἄρχοντες τοῖς νόμοις». 5. Κῦρος ὁ Δαρείου κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας καὶ Φρυγίας καὶ Καππαδοκίας. 6. Γοργίας ὑπὸ Σωκράτους ἐν τοῖς λόγοις συμποδισθεὶς ἠναγκάσθη ἐναντία αὐτὸς αὑτῷ λέγειν. 7. Παυσανίας τῇ τῶν Λακεδαιμονίων πολιτείᾳ ἐπιβουλεύσας τοῖς ἐφόροις ἐμηνύθη. 8. Ἡρακλέα λέγουσι ὑπὸ Διὸς γεννηθῆναι. 9. ’Ορέστης τὴν μητέρα φονεύσας ὑπ’ ’Ερινύων ἐδιώχθη. 10. Οἱ Ἕλληνες οἱ ὑπὸ Κύρου εἰς τὴν ’Ασίαν ἀναχθέντες ὑπὸ Ξενοφῶντος ἐπὶ τὴν θάλατταν κατήχθησαν. 11. Ὁ ’Αλέξανδρος τὴν Ἑλένην ἁρπασθῆναι λέγεται. 12. Πυθαγόρας ἐρωτηθείς, τί ἐστι φίλος «Ἄλλος ἐγώ«, – εἶπεν. 13. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. 14. Καῖσαρ ἀκούσας, ὅτι Πομπήιος φονευθείη, ἐδάκρυσε. 15. Λέγουσι Κάστορα καὶ Πολυδεύκη διὰ τὴν ἀρετὴν νομισθῆναι Διὸς υἱοὺς καὶ ὀνομασθῆναι Διοσκούρους.

**4.** Переведите на греческий язык.

1. Агамемнон был принужден другими царями принести в жертву свою дочь. 2. О если бы городские ворота были хорошо охраняемы! 3. Говорят, что прах (=кости) Фемистокла был тайно доставлен из Азии в Афины. 4. Долгое время Троя была осаждаема греками, но через десять лет город был завоеван и разрушен.

## ЗАНЯТИЕ 44
## Futūrum I passīvi

**1.** Проспрягайте в *futūrum indicatīvi passīvi* глаголы: τάττω – *строить*, ποιέω – *делать*, βλέπω – *смотреть*.

**2.** Переведите на греческий язык словосочетания: *побежденные персы*, *посланный вестник*, *город был основан*, *сделанное дело*, *ты будешь освобожден*, *тебя освободили*, *варвары были побеждены*, *убитые воины*, *освобожденный город*.

**3.** Переведите на русский язык.

1. Σπαρτιάτης τις ἐρωτηθείς, τί παιδευθήσοιτο ξένος ὑπὸ τῶν Σπαρτιατῶν ἀπαιδεύτων ὄντων· «Παιδευθήσεται, – ἔφη, – βραχέως λέγειν». 2. Οἱ ψεῦσται ἐξελεγχθήσονταί ποτε ἔργῳ. 3. Οἱ Τρῶες ἐνόμιζον τὴν πόλιν ὑφ’ Ἕκτορος σωθήσεσθαι. 4. ’Εὰν ἡ ὁμόνοια διαλυθῇ, διαλυθήσεται ἡ τῆς πόλεως δύναμις.

5. Πάντα τὰ ἁμαρτήματα ἐκκαλυφθήσεται. 6. Ὁ φρόνιμος τοῖς μὲν ἀγαθοῖς ἡδέως πείσεται, ὑπὸ δὲ τῶν πονηρῶν οὐδέποτε πεισθήσεται. 7. Οἱ πολέμιοι ὑφ’ ἡμῶν κωλυθήσονται τῆς διαβάσεως τοῦ ποταμοῦ. 8. Πύρρος ἤλπιζε τοὺς Ῥωμαίους ἀπείρους ὄντας τῶν ἐλεφάντων φοβηθήσεσθαι καὶ ταραχθήσεσθαι ἐν τῇ μάχῃ. 9. Θεμιστοκλῆς ἐνόμισεν, ὅτι ἡ Ἑλλὰς μετ’ ὀλίγον χρόνον ἐλευθερωθήσοιτο.

**4.** Переведите на греческий язык.

1. Ни временем, ни удачей не будет скрыто позорное дело. 2. Верящий неразумным будет назван неразумным. 3. Город без законов быстро будет уничтожен. 4. Люди никогда не избавятся от печалей и бед. 5. Троянцы надеялись, что Троя будет спасена Гектором.

## ЗАНЯТИЕ 45
## Aoristus II passīvi.
## Futūrum II passīvi

**1.** Проспрягайте в аористе и будущем времени пассива глаголы: γράφω *писать*, θάπτω *погребать*, κόπτω *рубить*.

**2.** Переведите на русский язык.

1. Πτολεμαῖος, ὁ Μακεδονίας βασιλεύς, ὑπὸ Γαλατῶν ἐσφάγη, καὶ πᾶσα ἡ Μακεδονικὴ δύναμις κατεκόπη. 2. ’Εν τῷ Πελοποννησιακῷ πολέμῳ πολὺ ἐβλάβησαν οἱ ’Αθηναῖοι. 3. Τοὺς προδότας οἱ ’Αθηναῖοι οὐδ’ ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν τοῖς οἰκείοις. 4. Οἱ ἐν Μαραθῶνι κατακοπέντες αὐτοῦ ὑπὸ τῶν ’Αθηναίων ἐτάφησαν, τὰ δ’ ὀνόματα αὐτῶν ἐν δέκα στήλαις ἀνεγράφη. 5. Ὁ θεὸς τοῖς Θηβαίοις ἐμαντεύσατο, ὅτι οὐκ ἀπαλλαγήσοιντο τῆς Σφιγγός, πρὶν ἄν τις λύσῃ τὸ αἴνιγμα. 6. Οἱ ’Αθηναῖοι ὑπὸ μὲν τῶν Περσῶν οὐ κατεστράφησαν, ὑπὸ δὲ τῶν Μακεδόνων τῆς ἐλευθερίας ἀπεστερήθησαν. 7. ῎Ενιοι φιλόσοφοι ἐνόμιζον τὴν ψυχὴν μετὰ τὸν θάνατον τοῦ σώματος ἀπαλλαγεῖσαν ζῆν. 8. Δημοσθένους λέξαντος πρὸς Φωκίωνα «’Αποκτενοῦσι σε οἱ ’Αθηναῖοι, ἐὰν μανῶσι», «Ναί, – ἔλεξεν, – ἐμὲ μέν, ἐὰν μανῶσι, σὲ δέ, ἐὰν σωφρονῶσιν». 9. Τράπηθι, ὦ Πέρσευ, μὴ τὴν Γοργῶ προσβλέψας μεταλλαγῇς εἰς λίθον. 10. Σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται.

**3.** Переведите на греческий язык.

1. Тело Александра погребено в Александрии. 2. Говорят, что огонь был похищен с неба Прометеем. 3. Платон похоронен в Академии. 4. Ромул, первый царь римлян, был вскормлен волчицей. 5. Елена была похищена Парисом из Спарты.

**4.** Переведите на русский язык текст.

### Π ε ρ ὶ   φ ι λ α ρ γ ύ ρ ο υ

’Ανήρ τις ἅπασαν τὴν οὐσίαν ἔν τινι τόπῳ κατώρυξεν. Συγκατωρύχθη δ’ ἐκεῖ καὶ ἡ ψυχὴ αὐτοῦ. Καθ’ ἑκάστην γὰρ ἡμέραν τοὺς κρυφέντας θησαυροὺς ἀνορύξας ἐθεώρει. ’Ολίγῳ δ’ ὕστερον ὁ θησαυρὸς ἡρπάσθη. ’Εκεῖνος δ’ ἐννοήσας

τὰ πραχθέντα ὠλοφύρετο. Ἀκούσας δέ τις αὐτὸν ὀλοφυρόμενον ἔφη· «Μὴ οὕτως ταραχθῇς, ἀλλὰ λίθον ἐν τῷ αὐτῷ τόπῳ κατόρυξον καὶ νόμιζε τὸν χρυσὸν ἐκεῖ κατορυχθῆναι. Οὐδὲ γὰρ ὁ χρυσός, ὅτε σοι ὑπῆρχεν, χρήσιμός σοι ἦν».

## ЗАНЯТИЕ 46
## Perfectum I actīvi.
## Plusquamperfectum I actīvi

**1.** Образуйте *1 sg. perfectum et plusquamperfectum indicatīvi actīvi* от глаголов: λύω *развязывать*, φιλέω *любить*, ψεύδω *лгать*, νομίζω *считать*, ἐάω *позволять*, βασιλεύω *царствовать*, στρατεύω *отправляться в поход*.

**2.** Проспрягайте в *perfectum et plusquamperfectum indicatīvi actīvi* первые два глагола 1-го упражнения.

**3.** Образуйте *participium perfecti actīvi* от глаголов: κελεύω *приказывать*, ἐλευθερόω *освобождать*, θύω *приносить жертву*.

**4.** Образуйте *infinitīvus perfecti actīvi* от глаголов: θεραπεύω *служить*, χορεύω *танцевать*, οἰκέω *населять*.

**5.** Определите грамматические формы: τετιμήκασι, πέπαικε, κεκέλευκας, νενικήκαμεν, ἐζήτηκας, λελυκώς, κεχορευκέναι, δεδουλώκασι, ἐλελύκειν, ἐτετιμήκει, τετιμηκότες.

**6.** Образуйте к формам ἔλυε – ἔλυσε – λέλυκε – ἐλελύκει соответствующие ряды форм от глаголов: πολεμέω *вести войну*, θύω *приность жертву*, συμβουλεύω *советовать*, ζημιόω *наказывать*.

**7.** Переведите на русский язык.

1. Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε. 2. Ξέρξης συλλέξας τὴν μεγάλην στρατιὰν ὡρμᾶτο ἐπὶ τὴν Ἑλλάδα ὡς τιμωρησόμενος τοὺς Ἀθηναίους, οἵ τοῖς ἐν τῇ Ἀσίᾳ Ἴωσιν ἐβεβοηθήκεσαν. 3. Δαίδαλος τὸν ἐν τῇ Κρήτῃ Λαβύρινθον κατεσκευάκει. 4. Σωκράτην θανάτου οἱ Ἀθηναῖοι κεκρίκασιν. 5. Ἀεὶ θεραπεύετε τὰς μητέρας τὰς τοὺς παῖδας πρὸς ἀρετὴν πεπαιδευκυίας. 6. Μηνύσω τοὺς πρέσβεις, οἵ συμβεβουλεύκασιν οὐ τὰ χρήσιμα τῇ πόλει καὶ τὴν εἰρήνην κεκωλύκασιν. 7. Φωκίων γέρων ὢν ἔλεγεν· «Πολλὰ συμβεβούλευκα τοῖς Ἀθηναίοις καλὰ καὶ συμφέροντα, ἀλλ᾿ οὐκ ἐπείσθησαν τοῖς ἐμοῖς λόγοις». 8. Ἐπαμεινώνδας ἐν Λεύκτροις νενικηκὼς ὑπό τε τῶν Θηβαίων καὶ πάσης σχεδὸν Ἑλλάδος μάλιστα ἐτιμήθη. 9. Τὰ ἄστρα οὐδείς πω τῶν ἀνθρώπων ἠρίθμηκε οὐδὲ ἀριθμήσει. 10. Μηδέποτε ἀνακεχωρηκέναι τῷ στρατιώτῃ μεγάλην φέρει δόξαν. 11) Οἱ Λυκούργου νόμοι τοὺς Λακεδαιμονίους πρὸς ἀνδρείαν πεπαιδευκέναι λέγονται.

**8.** Переведите на греческий язык.

1. Афиняне первые стали почитать Геракла как бога. 2. Победившие в Олимпийских играх очень почитались гражданами. 3. Греки говорят, что

Гомер воспитал Грецию. 4. Ясон посеял зубы дракона, которого убил Кадм. 5. Перикл построил многие прекрасные храмы в Афинах.

**9.** Переведите на русский язык текст.

’Α π ό φ θ ε γ μ α

Διογένης, ὁ εὐτελὴς καὶ αὐτάρκης φιλόσοφος, ἐπεὶ ποτ’ ἐθεάσατο, ὅτι παῖς ταῖς χερσὶν ἔπινεν, τὴν κοτύλην ἐκρίπτει τῆς πήρας καὶ λέγει· «Παιδὸς εὐτέλεια νενίκηκέ με».

## ЗАНЯТИЕ 47
## Perfectum II actīvi.
## Plusquamperfectum II actīvi

**1.** С помощью словаря образуйте *1 sg. perfectum et plusquamperfectum indicatīvi actīvi* от глаголов: γράφω *писать*, βλάπτω *вредить*, πράττω *делать*, θάπτω *погребать*, τρίβω *тереть*, στρέφω *поворачивать*, λείπω *оставлять*, κλάζω *звучать*, διώκω *преследовать*, πλήττω *ударять*, πλέκω *плести*, τρέφω *кормить*, τύπτω *бить*.

**2.** Проспрягайте в *perfectum et plusquamperfectum indicatīvi actīvi* первые три глагола 1-го упражнения.

**3.** Переведите на русский язык.

1. Κροῖσος εἰς Λακεδαίμονα πρέσβεις πέπομφεν. 2. Τυρταῖος ὁ ποιητής, ὅν οἱ ’Αθηναῖοι τοῖς Λακεδαιμονίοις ἐπεπόμφεσαν ἡγεμόνα, διὰ τῆς τῶν ποιημάτων δυνάμεως τῇ Σπάρτῃ αἴτιος ἦν τῆς νίκης. 3. Πεισίστρατος Σόλωνα ἐτετιμήκει καὶ τοὺς πλείστους νόμους αὐτοῦ ἐπεφυλάχει. 4. Οἱ τὴν ἀσπίδα ἐν τῇ μάχῃ ἐρριφότες ἄτιμοι ἦσαν. 5. ῞Α μοι προσετετάχεις, πάντα διαπέπραχα. 6. Οἱ στρατηγοὶ ἐτετάχεσαν τὰς τάξεις, ἀλλ’ οἱ πολέμιοι οὐκ ἐξήχεσαν τὴν στρατιὰν ἐκ τοῦ στρατοπέδου. 7. ῏Ω στρατιῶται, διὰ τί τοὺς πολεμίους οὐ δεδιώχατε; 8. Πολλοὶ συγγραφεῖς τὰς ’Αλεξάνδρου τοῦ Μακεδόνος πράξεις ἀναγεγράφασιν. 9. Δαίδαλος ὁ ἀρχιτέκτων ἐξ ’Αθηνῶν εἰς Κρήτην πεφευγέναι, ἐκεῖ δὲ τὸν λαβύρινθον κατεσκευακέναι λέγεται. 10. Κροῖσος εἰς Δελφοὺς πρέσβεις ἐπεπόμφει περὶ τῆς στρατείας μαντευσομένους, πεποιθὼς δὲ τῷ τοῦ ’Απόλλωνος χρησμῷ ἐπὶ τὸν Κῦρον ἐστρατεύσατο. 11. Οἱ ’Αθηναῖοι τῇ τοῦ Θεμιστοκλέους βουλῇ πεποιθότες τὴν πόλιν κατελελοίπεσαν καὶ εἰς τὰς ναῦς ἀπεπεφεύγεσαν.

**4.** Переведите на греческий язык.

1. Говорят, что первые законы для афинян написал Дракон. 2. Афиняне написали много прекрасных законов. 3. Крез отправил послов в Спарту. 4. Мы написали на столбах имена тех, кто своей храбростью спас отечество.

## ЗАНЯТИЕ 48
## Perfectum medii-passīvi.
## Plusquamperfectum medii-passīvi

**1.** Проспрягайте в *perfectum indicatīvi medii-passīvi et plusquamperfectum indicatīvi medii-passīvi* глаголы: κόπτω *рубить*, φυλάττω *охранять*, πείθω *убеждать*.

**2.** Определите формы от глаголов: πέμπω *посылать*, σκευάζω *готовить* и переведите: πέπεμπται, ἐσκεύασαι, ἐσκευασμένοι εἰσί, πέπεμφθε, πεπέμφθαι, ἐσκευάσμεθα, πεπέμμεθα, ἐπέπεμπτο, ἐσκεύασο, πεπεμμένη, ἐσκευασμένοι, εἴθε πεπεμμένοι εἶεν, εἴθε ἐσκευασμένος εἴη, ἵνα πεπεμμένα ὦσι, ἐσκεύασται.

**3.** Переведите и объясните образование следующих форм от глаголов: φυλάττω *охранять*, ἀγγέλλω *возвещать*.

а) φυλάττεται, ἐφυλάττετο, ἐφυλάξαντο, φυλαξόμενος, φυλαξάμενος, πεφυλάγμεθα, ἐπεφύλακτο, φυλάττεσθαι, πεφυλάχθαι;

б) ἀγγελλόμεθα, ἀγγελλόμενα, ἠγγελμένα, ἀγγέλλεσθαι, ἀγγελεῖσθαι, ἀγγείλασθαι, ἀγγέλλοιτο, ἀγγείλαιτο.

**4.** Образуйте к формам λύονται – λύσονται – λέλυνται соответствующие ряды форм от глаголов: θεάομαι *рассматривать*, αἰτέομαι *просить*, στρατεύομαι *идти в поход*.

**5.** Переведите на русский язык.

1. Ἔστε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας, ἧς κέκτησθε. 2. Λέγουσι Ῥόδον τὴν νῆσον τὸ παλαιὸν κεκρύφθαι ὑπὸ τῆς θαλάττης. 3. Εὐριπίδης ἐν Μακεδονίᾳ τέθαπται. 4. Τοῦτο εἰς ὕδωρ γέγραπται. 5. Ἀντισθένης ὁ φιλόσοφος ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν· «Φοβοῦμαι, – ἔφη, – μὴ κακόν τι ὑπ' ἐμοῦ πεπραγμένον ᾖ«. 6. Οἱ Ἕλληνες ἐβάδιζον εἰς μάχην τεταγμένοι ἐπὶ τεττάρων καὶ κεκαλυμμένοι ταῖς ἀσπίσιν. 7. Οἱ Ἀθηναῖοι ἐνόμισαν ἅπαντα ὑπὸ Ἀλκιβιάδου ἐπὶ τυραννίδι πεπρᾶχθαι. 8. Οἱ τοῦ Δράκοντος νόμοι αἵματι γεγράφθαι ἐλέγοντο. 9. Λυκοῦργος τὴν Σπάρτην μὴ τείχεσιν, ἀλλὰ τῇ τῶν πολιτῶν ἀνδρείᾳ τετειχίσθαι ἐβούλετο. 10. Ἐν Μαραθῶνι οἱ Ἀθηναῖοι ὑπὸ πάντων πλὴν Πλαταιέων καταλελειμμένοι ἦσαν. 11. Πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ ὁ τῶν Ἀθηναίων δῆμος τέθραπται. 12. Οἱ Σπαρτιᾶται ἐν τοῖς ὅπλοις εὖ γεγυμνασμένοι ἦσαν. 13. Πολλοὶ βουλαῖς, ἀλλ' οὐ τῇ τῶν πολεμίων ἀρετῇ νενίκηνται.

**6.** Переведите на греческий язык.

1. Граждане, радуйтесь: враги побеждены и война закончена! 2. Многие города были основаны греками в Италии и на Сицилии. 3. Быть хорошо воспитанным есть наилучшее богатство. 4. Ахилл любил и чтил Феникса, которым был воспитан.

**7.** Переведите на русский язык текст.

Περὶ Διονυσίου τοῦ τυράννου

Μεγάλη ἦν ἡ Διονυσίου δύναμις· ἐκέκτητο γὰρ ναῦς μὲν πολλὰς, πεζῶν δὲ καὶ μεγάλην δύναμιν ἐμεμίσθωτο. Ἡ δὲ τῶν Συρακοσίων πόλις λιμέσιν ἐκεκόσμητο μεγίστοις καὶ τείχει ὑψηλοτάτῳ περιῳκοδόμητο. Ἡ δὲ σκευοθήκη ἐπεπλήρωτο ἀσπίδων καὶ μαχαιρῶν καὶ ἀκοντίων καὶ κνημίδων καὶ θωράκων. Αὐτοῦ δὲ τετελευτηκότος Διονύσιος ὁ δεύτερος τὴν ἀρχὴν διεδέξατο. Οὗτος ἀσφαλῆ ᾤετο τὴν ἀρχὴν κεκτῆσθαι· ἀλλ’ οὐ πολλῷ ὕστερον ἡ ἀρχὴ αὐτοῦ κατελέλυτο.

## ЗАНЯТИЕ 49
## Futūrum III passīvi. Adjectiva verbalia

**1.** Образуйте от глаголов отглагольные прилагательные и переведите их: παιδεύω *воспитывать*, τιμάω *почитать*, λέγω *говорить*, πείθω *убеждать*, κρύπτω *прятать*, θάπτω *погребать*, τάττω *строить*, ἀγγέλλω *возвещать*, σημαίνω *обозначать*, φθείρω *губить*, αἴρω *поднимать*, θαυμάζω *удивлять*, θηράω *охотиться*, νικάω *побеждать*, κοσμέω *украшать*, δηλόω *обнаруживать*, πράττω *делать*, γράφω *писать*, σπείρω *сеять*, κρίνω *судить*, φαίνω *являть*.

**2.** Образуйте *1 sg. futūrum III indicatīvi passīvi* от глаголов: παιδεύω *воспитывать*, κόπτω *рубить*, φυλάττω *охранять*, πείθω *убеждать*.

**3.** Проспрягайте в *futūrum III indicatīvi passīvi* глагол πράττω *делать*.

**4.** Переведите на русский язык.

1. Οὐδὲν κακὸν ἐμοὶ διαπεπράξεται. 2. Κῦρος λέγει πρὸς τοὺς στρατιώτας στασιάζοντας· «Εἴ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον». 3. Πάντα γεγράψεται ἐν τῇ μνήμῃ τοῦ λεώ, ὅσ’ οἱ ὑπερήφανοι ὑβρισταὶ τοὺς πένητας ἠδίκουν. 4. Πολιτεία εὖ κεκοσμήσεται, ἐὰν ἐπιστήμων ἄρχων αὐτὴν πολιτεύῃ. 5. Τοῖς ποιηταῖς χρησταὶ βίβλοι γραπτέαι εἰσίν. 6. Παντοῖοι θῆρες τούτοις τοῖς νεανίαις θηρευτέοι εἰσίν. 7. Εἰ βούλει σοι τοὺς ἀνθρώπους εὐμενεῖς εἶναι, θεραπευτέον τοὺς ἀνθρώπους, εἰ δ’ ὑπὸ τῶν φίλων ἀγαπᾶσθαι ἐθέλεις, εὐεργετητέον τοὺς φίλους. 8. Θεραπευτέοι εἰσὶν οἱ γέροντες.

**5.** Переведите на греческий язык.

1. Отец должен быть почитаем сыном. 2. Сыну следует почитать отца. 3. Скажи, и будет исполнено. 4. Юношей следует удерживать от дурного общества. 5. Нам нужно перейти реку.

## ЗАНЯТИЕ 50
## 2-е спряжение. Глагол δίδωμι

**1.** Образуйте от глагола δίδωμι следующие активные и медиальные формы: *infinitīvus praesentis*, *aoristi*, *futūri*, *perfecti*; *participium praesentis*, *aoristi*, *futūri*, *perfecti*; *imperatīvus praesentis и aoristi 2 sg*. и *pl*.

**2.** Определите формы глагола δίδωμι и производных от него: διδοίη, ἀπέδωκεν, προεδίδους, ἐκδῷς, προδῶτε, ἔδοτε, ἐδίδοτε, ἔδοσαν, μετέδοτε, προέδωκας, προδέδωκεν, παραδούς, ἔκδος, ἐκδιδούς, ἐξεδίδους, ἐκδίδως, ἐκδεδωκώς, ἀποδοῖτο, ἀποδῶσθε, ἀποδόμενος, ἀποδέδοται, παραδιδόσθω, διδῶνται, προδοθῆναι, παρεδόθη, παραδιδόμενοι, παραδεδομένοι.

**3.** Переведите на русский язык.

1. Ἡ μωρία δίδωσι ἀνθρώποις κακά. 2. Δίκην διδοίη ὁ τὴν πατρίδα προδιδούς. 3. Ἀργύρου οὐκ ἦν ποτε οὔτε χρυσοῦ νόμισμα, ἀλλὰ οἱ ἄνθρωποι ἀντεδίδοσαν βοῦς καὶ ἀνδράποδα καὶ ἀγρὸν καὶ ἄργυρον καὶ χρυσόν. 4. Ἡρακλῆς λέγεται φυτεῦσαι Ὀλυμπίασιν ἐλαίαν, ἀφ’ ἧς οἱ στέφανοι τοῖς νικήσασιν ἐδίδοντο. 5. Ἐν ταῖς Θερμοπύλαις τῶν μὲν Λακεδαιμονίων οὐδεὶς παρέδωκεν ἑαυτὸν τοῖς πολεμίοις, ἀλλὰ πάντες τοῦ Ἐφιάλτου προδόντος ἐτελεύτησαν μαχόμενοι ὑπὲρ τῆς Ἑλλάδος, οἱ δὲ Θηβαῖοι τῶν πολεμίων προσερχομένων εὐθὺς παρέδοσαν ἑαυτοὺς λέγοντες, ὅτι ἄκοντες πολεμοῦσι τοῖς Πέρσαις. 6. Αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν. 7. Ἡ φύσις τοῖς μὲν λέουσιν ἔδωκεν ἀλκὴν καὶ ταχυτῆτα, ταῖς δ’ ἀλώπεξι πανουργίαν. 8. Φίλιππον ἀδικοῦντα παρὰ τοὺς δικαστὰς ἄγειν δεῖ, δίκην δώσοντα. 9. Τὴν δόξαν, ἣν ἡμῖν οἱ πατέρες παραδεδώκασι, καὶ τοῖς ἡμετέροις παισὶ παραδώσομεν. 10) Τῷ ἀρίστῳ ἡ ἀρχὴ παραδοθήσεται. 11. Πυθαγόρας ἔλεγε, δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. 12. Αἴας ὀργιζόμενος, ὅτι τὰ Ἀχιλλέως ὅπλα ἐδέδοτο Ὀδυσσεῖ, αὐτὸς ἑαυτὸν ἀπέκτεινε τῷ ξίφει, ὃ Ἕκτωρ ποτὲ ἐδεδώκει αὐτῷ. 13. Μετὰ τὸν Ἀχιλλέως θάνατον Θέτις ἐκήρυξε τὰ ὅπλα αὐτοῦ δοθήσεσθαι τῷ ἀρίστῳ τῶν Ἑλλήνων. 14. Δίκην διδοίη ὁ τὴν πατρίδα προδιδούς. 15. Ἀγαθοὶ ἄνθρωποι τοῖς πένησι μεταδιδόασι τῶν χρημάτων.

**4.** Переведите на греческий язык.

1. Атлетам, одержавшим победу на Панафинеях, давали сосуд, полный масла. 2. После битвы при Саламине греки дали Фемистоклу награду за мудрость. 3. Лай отдал своего сына пастуху, чтобы убить его. 4. Исократ продал одну речь за двадцать талантов. 5. Много славных подвигов эллинов и римлян предано памяти.

## ЗАНЯТИЕ 51
## 2-е спряжение. Глагол τίθημι

**1.** Определите следующие формы от δίδωμι и образуйте к ним соответствующие ряды от τίθημι: δίδωμι, διδόασιν, διδοίη, δίδου, ἐδίδους,

δίδοσο, ἐδιδόμην, ἔδοτε, δός, ἔδου, δοῦσα, δόμενος, δόσθω, δώσομεν, δοθήσεται, ἐδεδώκεσαν, δέδοται.

**2.** Определите грамматические формы глагола τίθημι и производных от него: τέθηκας, ἔθηκας, ἐπιτιθέντες, ἐπιθέντες, ἐπιτεθέντες, διατιθεῖεν ἄν, διαθεῖεν ἄν, προσετίθεις, προστιθείς, προσθείς, προστεθείς, ἐπίθες, προσθῶμεν, περιθήσουσιν, ἀναθεῖμεν, παρατεθήκασιν, ἐπιτιθέμενοι, παρετίθετο, συντίθεσθαι, προστίθενται, συνθέσθαι, ἐπιθῆται, προσέθεντο, περιέθετο, ὑποθεμένου, προστεθέντα, παρατεθείη, διατεθῆναι.

**3.** Переведите на русский язык.

1. Ἤδη Ἀναξαγόρας ὁ φιλόσοφος ἐδίδασκε τὸν ἥλιον τῇ σελήνῃ ἐντιθέναι τὸ φῶς. 2. Οἱ νόμοι τοιοῦτοί εἰσιν, οἷοι οἱ τιθέντες. 3. Πολλοὶ τῶν ἀνθρώπων μέτρον εὐδαιμονίας τὰς τῆς γαστρὸς ἡδονὰς τίθενται. 4. Οἱ παλαιοὶ τοῖς νεκροῖς ὀβολὸν εἰς τὸ στόμα κατετίθεσαν, ἵνα διδοῖεν Χάρωνι. 5. Πεισίστρατος καὶ Ἱππίας φόρους μὲν ἐπιθεῖναι τοῖς Ἀθηναίοις λέγονται, τοὺς δὲ νόμους, οὓς Σόλων ἔθηκεν, οὐ μετέθεσαν. 6. Οἱ διδάσκαλοι παρατιθέασι τοῖς παισὶν ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα. 7. Σόλων νόμους κρατίστους τῇ πόλει κατέθηκεν. 8. Ἀθηνᾶ ἐν μέσῃ τῇ ἀσπίδι τὴν τῆς Γοργοῦς κεφαλὴν ἀνέθηκεν. 9. Λυκοῦργον, τὸν θέντα Λακεδαιμονίοις νόμους, μάλιστα θαυμάζω καὶ σοφώτατον ἡγοῦμαι. 10. Τοῖς διδασκάλοις παρακατατιθέμεθα τοὺς ἡμετέρους παῖδας. 11. Οἱ Ἕλληνες ἐφοβοῦντο, μὴ ἐπιθοῖντο αὐτοῖς οἱ πολέμιοι. 12. Τοὺς νόμους πολλάκις αὐτοὶ οἱ θέμενοι μετατίθενται. 13. Ἀγῶνες τίθενται ῥώμης καὶ σοφίας καὶ πλούτου. 14. Οὐκ ἔστιν οὐδὲν κρεῖττον, ἢ νόμοι πόλει, καλῶς τεθέντες. 15. Ἀλέξανδρος παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις ἔλεξε· «Οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην». 16. Ἐπεὶ οἱ Τρῶες ταῖς τῶν Ἑλλήνων ναυσὶν ἐπέθεντο, Πάτροκλος περιθέμενος τὰ Ἀχιλλέως ὅπλα φόβον ἐνέθηκεν αὐτοῖς.

**4.** Переведите на греческий язык.

1. Законодатель издаст законы и каждому преступлению назначит наказание. 2. Законодатели издают законы, чтобы несправедливость и беззаконие не губили государство. 3. Законы, данные Ликургом спартанцам, спасли их государство от многих опасностей. 4. Геракл, убив льва, надел на себя его шкуру. 5. Крезом было поставлено в Дельфах много прекрасных даров.

## ЗАНЯТИЕ 52
## 2-е спряжение. Глагол ἵστημι

**1.** Определите следующие формы от ἵστημι и производных от него: ἀφίστησιν, διιστᾶσιν, ἐφιστάς, μεθίστη, προέστησας, συνέστησαν, καταστήσατε, καταστήσειαν, ἀναστήσει, παραστήσουσιν, καθίστανται, παραστήσασθαι, ἀνίσταντο, ἀναστησόμεθα, κατεστάθης, ἀποσταῖεν, ἀναστάντες, ἑστῶτες, ἕστασαν.

**2.** Переведите на русский язык.

1. Οἱ νικῶντες ἀεὶ τρόπαιον ἵσταντο. 2. Ἀρισταγόρας τοὺς Ἴωνας ἔπεισε τῶν Περσῶν ἀφίστασθαι. 3. Ὁ ἄριστος τῇ πόλει ἐπισταθήσεται. 4. Μὴ διίστασθε, ὦ σύμμαχοι. 5. Οἱ Σπαρτιᾶται οὔποτε δημοκρατίαν κατεστήσαντο. 6. Ὑπὸ τῶν Λακεδαιμονίων ἄλλοις δήμοις πολλάκις τυραννὶς κατεστάθη. 7. Ὁ κύριος διώκων τὸν ἀποδράντα δοῦλον ἐκέλευσεν· «Ἕστηκε». Ὁ δὲ εἱστήκει. 8. Πλάτων ὁ φιλόσοφος συνεβούλευε τοῖς μεθύουσι παραστῆναι τῷ κατόπτρῳ, εἶτα γὰρ ἀποστήσεσθαι αὐτοὺς τοῦ πίνειν. 9. Ἐπεὶ οἱ Ἀθηναῖοι καὶ οἱ Σπαρτιᾶται διέστησαν, Φίλιππος ῥαδίως τὰς Ἑλληνικὰς πόλεις κατεστρέψατο. 10. Ἐπεὶ ὁ Ἀλέξανδρος τῷ Διογένει παρέστη, ἐκεῖνος εἶπεν αὐτῷ· «Μικρὸν ἀπὸ τοῦ ἡλίου μετάστηθι». 11. Δός μοι, ποῦ στῶ, καὶ κινῶ τὴν γῆν.

**3.** Переведите на греческий язык.

1. Не ставьте вора сторожем дома. 2. Спартанцы установили у себя государственное устройство, подобное военному лагерю. 3. Греки и римляне, одержав победу, ставили трофей. 4. По окончании Пелопоннесской войны во многих греческих городах были установлены олигархии. 5. Римляне, победив в сражении Антиоха, сделались (стали) властителями Азии.

## ЗАНЯТИЕ 53
## Корневой аорист

**1.** Проспрягайте в *aoristus indicatīvi actīvi* глаголы: φθάνω *предупреждать*, βιόω *жить*, φύω *рождать*.

**2.** Определите формы; ко всем формам единственного числа подберите соответствующие множественного и наоборот: οἱ ἁλόντες, οἱ ἑλόντες – ἐὰν ἁλῶ, ἵνα ἁλῷ – ἀποδράντες, δρῶντες – δρᾶν, ἀποδρᾶναι, δρᾶσαι – πάσας τὰς ναῦς ἔδυσαν, πολλαὶ νῆες ἔδυσαν – ἡ φύσις παντοῖα ζῷα φύει καὶ ἀεὶ φύσει – καὶ ἐν τούτῳ τῷ ἔαρι πολλὰ ἄνθη ἔφυ.

**3.** Переведите на русский язык.

1. Ὁ δεσπότης δείσας, μὴ δοῦλοί τινες ἀποδραῖεν, τοὺς φύλακας τῆς οἰκίας ἐκέλευσε φθῆναι τὰς θύρας φρουροῦντας. 2. Μετὰ τὸν δεκαετῆ πόλεμον Ἴλιον ὑπὸ τῶν Ἀχαιῶν ἑάλω. 3. Σωκράτης Ἀπολλοδώρου λέγοντος· «Ἀδίκως σου θάνατον κατέγνωσαν Ἀθηναῖοι», – γελάσας ἔφη· «Σὺ δὲ ἐβούλου δικαίως». 4. Ἡράκλειτος λέγει, ὡς δὶς εἰς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. 5. Πάρις αἴτιος φῦναι λέγεται Τρωσὶ πάντων τῶν κακῶν. 6. Κάλλιστον τὸ Ἀντιγόνης παρὰ Σοφοκλεῖ· «οὐ μισεῖν, ἀλλὰ φιλεῖν ἔφυμεν». 7. Σιμωνίδης ἐρωτηθείς, πόσον χρόνον βιῳη· «Χρόνον, – ἔφη, – ὀλίγον, ἔτη δὲ πολλά». 8. Βακχυλίδης ὁ Κεῖος ποιητὴς ἐν διθυράμβοις ᾄδει Θησέα εἰς θάλατταν καταδύντα εὐθὺς ἀναδῦναι τὸν χρυσοῦν δακτύλιον φέροντα. 9. Ἀρτάβαζος ἐν Πλαταιαῖς γνούς, ὅπως τὸ πρᾶγμα ἀποβήσεται, ἀπέδρα ἐκ τῆς μάχης ἔχων τέτταρας μυριάδας Περσῶν. 10. Οἱ αἰχμάλωται γνόντες, ὅτι ἀδύνατοι ἦσαν ἀποδρᾶναι ἡμέρας, ἔμειναν μέχρι ἑσπέρας.

11. Δράκων ὁ τῶν ’Αθηναίων νομοθέτης τῶν κλοπῆς ἁλόντων θάνατον κατέγνω. 12. Τῷ Λαΐῳ ἐμαντεύσατο ὁ ἐν Δελφοῖς θεός· «Εἰ παῖδα φύσεις, ὁ φὺς ἀποκτενεῖ σε, καὶ πᾶς ὁ οἶκός σου δι’ αἵματος βήσεται».

**4.** Переведите на греческий язык.

1. Греки, перейдя реку, сражались с врагами и обратили их в бегство. 2. Говорили, что Афродита родилась из морской пены. 3. Афиняне осудили Сократа на смерть. 4. Осажденные были взяты в плен.

## ЗАНЯТИЕ 54
## 2-е спряжение. Глагол ἵημι

**1.** Определите формы от ἵημι и производных от него: παρείς, συνίεις, ἀφιείς, ἐξίει, συνῆκα, συνεῖκα, καθιείη, ἀφείη, ἐφιῇ, ἐφῇ, παριέντων, παρέντων, ἐφίεσαι, ἐφοῦ, ἐφιῆσθε, ἐφεῖο, ἐφίεντο, ἀφιῶσιν, προίετε, συνιέναι, παριέντες, ἄφετε, συνῆκα, ἐφιέμεθα, προιέμενοι, ἐφίεσθαι, ἐφίεντο, προεῖντο, πρόεσθε, ἀφείθησαν, ἀφεῖνται, ἀφεῖντο, ἀφεθέντας.

**2.** Переведите на русский язык.

1. ’Εν τῇ Κορίνθου ἀγορᾷ ᾠκοδόμηται κρήνη καὶ Ποσειδῶν ἐπ’ αὐτῇ χαλκοῦς καὶ δελφὶς ὑπὸ τοῖς ποσίν ἐστι τοῦ Ποσειδῶνος, ἀφιεὶς ὕδωρ. 2. Κῦρος τοῖς στρατιώταις οὐκ ἐβούλετο ἐφεῖναι τὰς πόλεις ἁρπάσαι. 3. ’Ελευθέρους ἀφῆκε πάντας ἡ φύσις, οὐδένα δὲ δοῦλον πεποίηκεν. 4. Τῷ κυνὶ κρέας ἀφέντι διπλοῦν λαβεῖν μάτην ἐπιθυμοῦντι ὀρθῶς ὁμοιωθήσεται ὁ κενῶν ἐλπίδων ἐφιέμενος. 5. ’Αφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. 6. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. 7. Λόγος ἀφεθεὶς οὐκ ἐπανέρχεται. 8. ’Αλκμείων λέγει· «῾Ο ἄνθρωπος τῶν ἄλλων ζώων διαφέρει, ὅτι συνίησι, τὰ δ’ ἄλλα αἰσθάνεται μέν, οὐ συνίησι δέ«. 9. Θεμιστοκλῆς τοὺς ’Αθηναίους ἐκέλευσε τοὺς τῶν Λακεδαιμονίων πρέσβεις μὴ ἀφεῖναι, πρὶν ἂν ἐπανέλθῃ, ἐφοβεῖτο γάρ, μὴ οἱ Λακεδαιμόνιοι ἑαυτὸν οὔκετι ἀφῶσιν.

**3.** Переведите на греческий язык.

1. Пленные были отпущены нашим полководцем. 2. Когда Фаэтон выпустил вожжи из рук, лошади помчались и уже не слушались его голоса. 3. Прощайте другим их ошибки. 4. Лакедемоняне послали Леонида и 300 спартанцев к Фермопилам, чтобы они не пропустили персов.

## ЗАНЯТИЕ 55
## Остальные глаголы на -μι первого класса

**1.** Переведите на русский язык.

1. ῾Ηρόστρατός τις ’Εφέσιος, ἵνα ὄνομα ἔχοι παρὰ τοῖς ὕστερον, τὸν τῆς ’Εφεσίας ’Αρτέμιδος νεὼν ἐνέπρησεν. 2. ’Ηπίστατο ὁ Κῦρος, εἴ τις καὶ ἄλλος, χάριν ἀποδοῦναι, ἠπίστατο δὲ καὶ ἐκπλῆσαι τὰς τῶν στρατιωτῶν γνώμας. 3. Πτωχοῦ πήρα οὐ πίμπλαται. 4. Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς ἐπίσταται.

5. Ἡρόδοτος λέγει, ὅτι οἱ Αἰγύπτιοι τὰ τῶν νεκρῶν σώματα ἐμπιμπλᾶσι. 6. Λέγουσι τὸν Λύσανδρον τοὺς Λακεδαιμονίους πλέον βλάψαι ἢ ὀνῆσαι, πολλὰ γὰρ χρήματα κομίσας εἰς Σπάρτην τοὺς πολίτας ἐνέπλησε πλεονεξίας. 7. Θεόκριτος, ἐρωτηθείς, διὰ τί οὐ συγγράφει, «Ὅτι, – ἔφη, – ὡς μὲν βούλομαι, οὐ δύναμαι, ὡς δὲ δύναμαι, οὐ βούλομαι». 8. Μετὰ τὴν Τισσαφέρνους προδοσίαν Ξενοφῶν τῶν στρατηγῶν ὅσοι σῶοι ἦσαν συλλέξας ἠγόρευε τάδε· «Ταῦτα δὴ πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ Τισσαφέρνης οὓς μὲν ἐδυνήθησαν συνέλαβον ἡμῶν, τοῖς δ’ ἄλλοις ἐπιβουλεύουσιν, ὅπως, ἐὰν δύνωνται, διαφθείρωσιν ἀλλ’ εὖ ἐπίσταθε, ὅτι τὸ στράτευμα μέγα ὀνῆσαι δυνήσεσθε, εἰ ἐπιμέλεσθε, ὅπως ἀντὶ τῶν τελευτησάντων ὡς τάχιστα στρατηγοὶ αὖθις κατασταθῶσι».

**2.** Переведите на греческий язык.

1. Той самой ночью, в которую родился Александр Македонский, некий Герострат поджег храм Артемиды Эфесской. 2. Врачи не смогли вылечить моего сына. 3. Глупый не может приносить пользу никому. 4. Греки, сжегшие Сарды, поспешно отступили в Милет. 5. Неприятели сжигали города и села, а жителей обращали в рабство.

## ЗАНЯТИЕ 56
## Глаголы φημί, εἰμί, εἶμι

**1.** Определите формы от глаголов εἰμί, εἶμι и ἵημι: ἀπιέναι, ἀφιέναι – ἐὰν ἀφῇ, ἐὰν ἀπῇ, ὅταν ἀπίῃ, ὃς ἂν ἀφιῇ – εἴθε ἀφεῖεν, εἴθε ἀπεῖεν – εἴθε παρεῖεν – ἐπεὶ ἀπῇσαν, ἐπεὶ ἀπῆσαν – ἀπιτέον ἐστίν, ἀφετέον ἐστίν.

**2.** Переведите на русский язык.

1. Ἔστιν, ὥς φαμεν, ὁ φίλος ἕτερος ἐγώ. 2. Πάντων ἥδιστον ὀρθῶς ἂν φαῖμεν εἶναι τὴν φιλίαν· διὸ καὶ τὸν φίλον φασὶ πυρὸς καὶ ὕδατος ἀναγκαιότερον. 3. Ὁ Κέρβερος ἥμερος ἦν, εἴ τις Ἅιδου εἰσίοι, ἐξιέναι δ’ οὐδένα εἴα. 4. Κῦρος τοῖς τῶν Ἑλλήνων στρατηγοῖς ἔλεξεν, ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα. 5. Ὁ υἱός φησι σοφώτερος εἶναι τοῦ πατρός. 6. ’Αλλ’ ἴωμεν· ὥρα γὰρ ἤδη ἀπιέναι οἴκαδε. 7. Διογένης ἐπανῄει ἐκ Λακεδαίμονος εἰς ’Αθήνας. Πρὸς οὖν τὸν ἐρωτήσαντα «ποῖ καὶ πόθεν», «Παρ’ ἀνδρῶν, – ἔφη, – εἶμι πρὸς γυναῖκας». 8. Οἱ αὐτόμολοι ἔφασαν τὴν τῶν πολεμίων στρατιὰν διαβῆναι τὸν ποταμόν. 9. Διὰ λύπην φασί καὶ μανίαν γίγνεσθαι πολλοῖς καὶ νοσήματα οὐκ ἰάσιμα. 10. Εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι, οἱ δὲ οὐκ ἐθέλουσιν. 11. Ὁ τῶν Περσῶν βασιλεὺς ἐτόλμα ἐν ταῖς ἐπιστολαῖς γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ’ ἡλίου ἀνιόντος μέχρι δυομένου. 12. Πλάτων ἔφησε, σφαιροειδῆ τὸν κόσμον εἶναι. 13. Σὺ πολὺν χρόνον ἀπῆσθα, νῦν δ’ ἡμεῖς ἄπιμεν.

**3.** Переведите на греческий язык.

1. Предсказатели говорили, что надо принести жертву Зевсу. 2. Я уйду домой. 3. Пусть стрелки из лука идут в сражении вперед. 4. Обман всегда будет причиной величайших несчастий.

## ЗАНЯТИЕ 57
## Глагол οἶδα

**1.** Переведите на русский язык.

1. Καίπερ πολλὰ εἰδότες οὐκ ἴστε τοῦτο. 2. Σωκράτης ηὔχετο θεοῖς ἁπλῶς τὰ ἀγαθὰ διδόναι· τούτους γὰρ κάλλιστα εἰδέναι, ὁποῖα ἀγαθὰ ἐστιν. 3. Δημοσθένης πρὸς κλῶπά τινα λέγοντα «Οὐκ ᾔδη, ὅτι σόν ἐστιν», «῞Οτι δὲ σὸν οὔκ ἐστιν, ᾔδησθα», ἔφη. 4. Οὐδείς, ὃ νοεῖς μέν, οἶδεν· ὃ δὲ ποιεῖς, βλέπει. 5. Δεῖ ὑμᾶς, ὦ ἄνδρες ᾿Αθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι, ἵνα εἰδῆτε, ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη. 6. Οὐδὲν γλυκύτερόν ἐστιν, ἢ πάντ᾿ εἰδέναι. 7. ῾Ο χρήσιμ᾿ εἰδώς, οὐχ ὁ πόλλ᾿ εἰδώς, σοφός. 8. ῾Ο μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει. 9. Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος. 10. Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον. 11. ῎Ισμεν τοὺς ἀνθρώπους θνητοὺς ὄντας. 12. Σωκράτης ἔλεγε τάδε· «Οἶδα μηδὲν εἰδώς».

**2.** Переведите на греческий язык.

1. Многие знают меня и тебя. 2. Эдип, встретившись со своим отцом, убил его, не зная, что это – его отец. 3. О если бы юность знала, о если бы старость могла. 4. Все знают, что греки победили персов. 5. Не хвали никого, пока не узнаешь его хорошо. 6. Многие убеждены в том, что знают.

## ЗАНЯТИЕ 58
## Глаголы 2-го класса на -μι

**1.** Проспрягайте в praesens всех наклонений активного и медиопассивного залогов глагол ὄμνυμι *клясться*.

**2.** Переведите на русский язык.

1. ῞Ορος ὄρει οὐ μείγνυται, ἄνθρωπος δ᾿ ἀνθρώπῳ. 2. ᾿Εν Χαιρωνείᾳ ἐδείκνυτο παλαιὰ δρῦς ᾿Αλεξάνδρου καλουμένη. 3. ᾿Εν ᾿Αθήναις οἱ ἔφηβοι ὤμνυσαν μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν τοῖς παισίν. 4. Τῷ ᾿Αλεξάνδρῳ ἐν ᾿Ιλίῳ θύοντι ἔφη ἱερεὺς δείξειν τὴν Πάριδος λύραν. «Τὴν ᾿Αχιλλέως, – ἔφη ᾿Αλέξανδρος, – εἰ ἔχεις, δεῖξον, καὶ πρό γε τῆς λύρας τὸ δόρυ». 5. Κάτων ἐνόμιζε τὴν τῶν ῾Ρωμαίων δύναμιν ἀπολεῖσθαι, εἰ οἱ νεανίαι ἐμπλήσθειεν ῾Ελληνικῶν γραμμάτων. 6. Οἱ συγγραφεῖς ἐπιδεικνύασι τὰ τῶν παλαιῶν ἀνδρῶν ἔργα καὶ λόγους. 7. ᾿Αλέξανδρος, ἐρωτηθεὶς ὑπὸ τινος, ἐν τίνι ἔχει τοὺς θησαυρούς, δείξας τοὺς φίλους, εἶπεν· «᾿Εν τούτοις». 8. Νεὼς ἐν ῾Ρώμῃ δείκνυται, ἐν ᾧ αἱ εἰκόνες τῶν Τρωϊκῶν θεῶν κεῖνται. 9. Εἰ μὴ φυλάττεις μίκρ᾿, ἀπολεῖς τὰ μείζονα.

10. Διογένης, ἰδὼν μάχαιραν ἐρριμμένην, εἶπε· «Τίς σε ἀπώλεσεν, ἢ τίνα σύ«. 11. Οἱ αἰχμάλωτοι ἀπολοῦνται τῷ λιμῷ. 12. Διὰ γυναικῶν ὕβρεις πολλαὶ τυραννίδες ἀπολώλασι. 13. Ἡ σαλαμάνδρα, ὥς φασι, διὰ πυρὸς βαδίζουσα, κατασβέννυσι τὸ πῦρ. 14. Πυρὶ οὐ σβέννυται πῦρ.

**3.** Переведите на греческий язык.

1. Критяне показывали пещеру, в которой Зевс был вскормлен козой. 2. Ничто дурное легко не погибает. 3. Колхи умерших не хоронили, а вешали на деревьях. 4. Поэт Феогнид говорит, что вино показывает ум человека. 5. Эллины и римляне смешивали вино с водой.

## ЗАНЯТИЕ 59
## Неправильные глаголы

**1.** Определите глаголы и их грамматическую форму: μαθήσεται, πευσόμεθα, λελήθασι, ἐλήφθησαν, ὀφλών, παρέβησαν, ἀπελάσαντες, εὑρήκασιν, ἐγενόμεθα, εἵλοντο, πείσονται, διδαχθήσεται, ἔλθωσι, ἑωράκατε, εἰρημένος, αἱρεθέντες, ἴδωσι, ὀφθῆναι.

**2.** Переведите на русский язык.

1. ’Εξελῶ σ’ ἐκ τῆς οἰκίας. 2. Ζεὺς ἔλαχε τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάττῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου. 3. Ἔγνω δὲ φώρ τε φῶρα καὶ λύκος λύκον. 4. Οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσι. 5. Δοῦλοι καὶ δεσπόται οὐκ ἄν ποτε γένοιντο φίλοι. 6. Ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται. 7. Γράφω, ἃ εἶδον, οὐχ ἃ ἤκουσα. 8. ’Επεὶ Κῦρος τὸ Ἑλληνικὸν στράτευμα παρειλήφει, ἐστρατεύσατο πρὸς βασιλέα. 9. Ὁ θεὸς ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ’ ἃς οἴσομεν πάσας τὰς τῆς τύχης συμφοράς.

**3.** Переведите на греческий язык.

1. Греки захватили Трою. 2. На войне погибли многие воины. 3. Сократ спас Ксенофонта, упавшего с лошади в сражении. 4. Мы побежим, а вы догоняйте. 5. Приобретая новых друзей, не забывай старых.